UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

Socrates <Scholasticus>

Mogvntiae, 1677

XIV. Quomodo Eusebius Nicomediae Episcopus & Theognis Nicaeae, qui in exilium missi fuerant, eo, quòd Ario consensissent, postea misso poenitentiae libello, expositioni fidei consentientes, sedes ...

urn:nbn:de:hbz:466:1-14233

Visual Library

τοῦτο μὲν οὖν ὕστερον ἐγένετο. τότε δὲ οἱ ἐν τῇ συνόδῳ ἐπίσκοποι, καὶ ἄλλα τινὰ ἐγγράψαντες, ἃ κανόνας ὀνομάζειν εἰώθασιν, αὖθις κατὰ πόλιν τὴν ἑαυτῶν ἀνεχώρησαν. φιλομαθὲς δὲ εἶναι νομίζω, καὶ τὰ ὀνόματα τῶν ἐν νικαίᾳ συνελθόντων ἐπισκόπων, ἃ εὑρεῖν ἐδυνήθημεν, καὶ ἧς ἕκαστος ἐπαρχίας τε καὶ πόλεως ἦν, καὶ τὸν χρόνον ἐν ᾧ συνῆλθον, παραθέσθαι ἐνταῦθα. ὅσιος ἐπίσκοπος κορδούβης ἱσπανίας. οὕτως πιστεύω ὡς προγέγραπται. ῥώμης βίτων καὶ βικέντιος πρεσβύτεροι. αἰγύπτου ἀλέξανδρος. ἀντιοχείας τῆς μεγάλης εὐστάθιος. ἱεροσολύμων μακάριος. ἁρποκρατίων κυνῶν. καὶ τῶν λοιπῶν ὧν εἰς πλῆρες τὰ ὀνόματα κεῖται ἐν τῷ συνοδικῷ ἀθανασίου τοῦ ἀλεξανδρείας ἐπισκόπου. καὶ ὁ χρόνος δὲ τῆς συνόδου, ὡς ἐν παρασημειώσεσιν εὕρομεν, ὑπατείας παυλίνου καὶ ἰουλιανοῦ, τῇ εἰκάδι τοῦ μαΐου μηνός. τοῦτο δὲ ἦν ἑξακοσιοστὸν τριακοστὸν ἕκτον ἔτος, ἀπὸ τῆς ἀλεξάνδρου τοῦ μακεδόνος βασιλείας. τὰ μὲν οὖν τῆς συνόδου τέλος εἶχεν. ἰστέον δέ, ὅτι μετὰ τὴν σύνοδον ὁ βασιλεὺς ἐπὶ τὰ ἑσπέρια μέρη ἀφίκετο.

Et hoc quidem contigit paulo post hæc tempora quæ nunc exponimus. Tunc vero Episcopi qui Concilio intererant, cum quædam etiam alia conscripsissent, quæ Canones seu regulas vocare solent, ad suam quisque urbem reversi sunt. Cæterum historiæ studiosis haudquaquam inutile fore arbitror, si nomina Episcoporum qui Nicæam convenerunt, quæ quidem investigare potui; & cujus quisque provinciæ ac civitatis Episcopus fuerit; tempus item quo congregati sunt, hoc loco adscripsero. Hosius Episcopus Cordubæ Hispaniæ: ita credo, ut superiùs scriptum est. Vito & Vincentius, presbyteri urbis Romæ. Ægypti Alexander Episcopus. Magnæ Antiochiæ Eustatius. Hierosolymorum Macarius. Harpocratio Cynopoleos. Et reliqui, quorum nomina in libro Athanasii Episcopi Alexandrini, qui Synodicus inscribitur, plenissime digesta sunt. Tempus autem quo Synodus congregata est, sicut in notationibus temporis ipsi Synodo præfixis inveni, fuit Consulatu Paulini & Juliani, die undecimo Kalendas Junias, anno sexcentesimo tricesimo sexto à regno Alexandri Macedonis. Et Nicæna quidem Synodus hunc finem accepit. Imperator vero finita Synodo, ad Occidentis partes se contulit.

## Κεφ. ιδ'.

Ὅτι εὐσέβιος ὁ νικομηδείας, καὶ θέογνις ὁ νικαίας, ἐξορισθέντες διὰ τὸ συμφρονῆσαι ἀρείῳ, ὕστερον βιβλίον μετανοίας διαπεμψάμενοι, καὶ συνθέμενοι τῇ ἐκθέσει τῆς πίστεως, τοὺς ἑαυτῶν ἀπέλαβον θρόνους.

Εὐσέβιος δὲ καὶ θέογνις, βιβλίον μετανοίας τοῖς κορυφαίοις τῶν ἐπισκόπων ἀποστείλαντες, ἀνεκλήθησάν τε τῆς ἐξορίας ἐκ βασιλικοῦ προστάγματος, καὶ τὰς ἐκκλησίας ἑαυτῶν ἀπέλαβον. τοὺς εἰς τόπον ἑαυτῶν χειροτονηθέντας ἐξωθήσαντες, ἀμφίωνα μὲν εὐσέβιος, χρῆστον δὲ, θέογνις. τοῦ βιβλίου τὸ ἀντίγραφόν ἐστι τόδε. ἤδη μὲν οὖν καταψηφισθέντες πρὸ κρίσεως παρὰ τῆς εὐλαβείας ὑμῶν, ἐν ἡσυχίᾳ φέρειν τὰ κεκριμένα παρὰ τῆς ἁγίας ὑμῶν ἐπικρίσεως ὀφείλομεν. ἀλλ' ἐπειδὴ ἄτοπον, καθ' ἑαυτῶν δοῦναι τῶν συκοφαντῶν τὴν ἀπόδειξιν τῇ σιωπῇ, τούτου ἕνεκα ἀναφέρομεν, ὡς ἡμεῖς καὶ τῇ πίστει συνεδράμομεν, καὶ τὴν ἔννοιαν ἐξετάσαντες ἐπὶ τῷ ὁμοουσίῳ, ὅλοι ἐγενόμεθα τῆς εἰρήνης, μηδαμοῦ

## Caput XIV.

*Quomodo Eusebius Nicomediæ Episcopus & Theognis Nicææ, qui in exilium missi fuerant eo quod Ario consensissent, postea misso pœnitentiæ libello, expositioni fidei consentientes, sedes suas receperunt.*

PORRO Eusebius & Theognis, pœnitentiæ libello ad præcipuos Episcopos misso, Imperatoris jussu ab exilio revocati, ecclesias suas receperunt: eosq; qui in ipsorum locum ordinati fuerant, expulerunt; Amphionem quidem Eusebius; Chrestum vero Theognis. Cujus quidem libelli exemplum hoc est. Nos quidem à pietate vestra dudum condemnati indicta causa, judicium sanctitatis vestræ placide & cum silentio ferre debemus. Sed quoniam absurdum est, argumentum calumniæ adversus semetipsum silentio suo præbere, idcirco significamus vobis, nos & in fide unanimes conspirasse; & notione consubstantialis diligenter examinata, omni studio in pacem incubuisse, nullam unquam

hæresin secutos. Cumque ob securitatem & tranquillitatem ecclesiarum ea suggessissemus quæ nobis in mentem veniebant, & eos quibus à nobis satisfieri oportebat confirmassemus, fidei quidem subscripsisse, anathematismo vero noluisse subscribere; non quod fidem reprehenderemus, sed quia minime credebamus, illum qui accusatus fuerat, ejusmodi esse; cum partim ex iis quæ ad nos per literas scripserat, partim ex ejus sermonibus in conspectu nostro habitis, compertum haberemus, illum talem non esse. Quod si sanctissimo Concilio vestro satisfactum est, non repugnantes, sed consentientes iis quæ à vobis decreta sunt, etiam hoc libello consensum nostrum confirmamus; non quidem tædio exilii, sed ut suspicionem vitemus hæreseos. Nam si in conspectum vestrum nos venire patiamini, invenietis nos in omnibus concordes, & decretis vestris mordicus inhærentes: quando & eum ipsum qui ob ista accusabatur, placuit reverentiæ vestræ humaniter tractare, & ab exilio revocare. Porro absurdum fuerit, cùm is qui reus esse videbatur, revocatus sit, seque de illis quæ ipsi objiciebantur purgaverit, nos silere, & argumentum adversus nosmetipsos ultro suppeditare. Vos ergo, sicut reverentiam vestram Christi amantissimam decet, Imperatorem Deo carissimum admonere dignemini, eique preces nostras offerre, & in nostra causa, ea quæ vobis congruunt mature decernere. Et hic quidem est libellus retractationis Eusebii atque Theognidis. Ex cujus verbis conjicio, istos fidei quidem quæ in Concilio edita fuerat subscripsisse; depositioni autem Arii consentire noluisse: & Arium ante istos ab exilio fuisse revocatum. Verum licet hoc ita se habere videatur, nihilominus Alexandriam ingredi prohibitus fuerat. Idque ex eo convincitur, quod postea reditum sibi in ecclesiam & in urbem Alexandriam paravit, simulata usus pœnitentia, sicut suo loco dicturi sumus.

A τῇ αἱρέσει ἐξακολουθήσαντες· ὑπομνήσαντες δὲ ἐπὶ ἀσφαλείᾳ τῶν ἐκκλησιῶν, ὅσα τὸν λογισμὸν ἡμῶν ὑπέτρεχε, καὶ πληροφορήσαντες τοὺς δι' ἡμῶν πεισθῆναι ὀφείλοντας, ὑπεσημηνάμεθα τῇ πίστει· τῷ δὲ ἀναθεματισμῷ οὐχ ὑπεγράψαμεν, οὐχ ὡς τῆς πίστεως κατηγοροῦντες, ἀλλ' ὡς ἀπιστοῦντες τοιοῦτον εἶναι τὸν κατηγορηθέντα, ἐκ τῶν ἰδίᾳ πρὸς ἡμᾶς παρ' αὐτοῦ διά τε ἐπιστολῶν, καὶ τῶν εἰς πρόσωπον διαλέξεων, πεπληροφορημένοι μὴ τοιοῦτον εἶναι· εἰ δὲ ἐπείσθη ἡ ἁγία ὑμῶν σύνοδος, οὐκ ἀντιτείνοντες, ἀλ- B λὰ συντιθέμενοι τοῖς παρ' ὑμῖν κεκριμένοις, καὶ διὰ τούτου τοῦ γράμματος πληροφοροῦμεν τὴν συγκατάθεσιν. οὐ τὴν ἐξορίαν βαρέως φέροντες, ἀλλὰ τὴν ὑπόνοιαν τῆς αἱρέσεως ἀποδυόμενοι· εἰ γὰρ καταξιώσητε νῦν γοῦν εἰς πρόσωπον ἐπαναλαβεῖν ἡμᾶς, ἕξετε ἐν πᾶσι συμψήφους, ἀκολουθοῦντας τοῖς παρ' ὑμῖν κεκριμένοις· ὁπότε αὐτὸν τὸν ἐπὶ τούτοις ἐναγόμενον, ἔδοξε τῇ ὑμῶν εὐλαβείᾳ φιλανθρωπεύσασθαι καὶ ἀνακαλέσασθαι. ἄτοπον δὲ, τοῦ δοκοῦντος εἶναι ὑπευθύνου, ἀνακεκλημένου, καὶ ἀπολογησαμένου ἐφ' οἷς διεβάλλετο, ἡμᾶς σιωπᾶν, καθ' ἑαυτῶν διδόντας τὸν ἔλεγχον. C καταξιώσατε γοῦν, ὡς ἁρμόζει τῇ φιλοχρίστῳ ὑμῶν εὐλαβείᾳ, καὶ τὸν θεοφιλέστατον βασιλέα ὑπομνῆσαι, καὶ τὰς δεήσεις ἡμῶν ἐγχειρίσαι, καὶ θᾶττον βουλεύσασθαι τὰ ὑμῖν ἁρμόζοντα ἐφ' ἡμῖν. καὶ τοῦτο μὲν τὸ τῆς παλινῳδίας βιβλίον εὐσεβίου καὶ θεόγνιδός ἐστιν· ἀπὸ δὲ τῶν ῥημάτων αὐτοῦ τεκμαίρομαι, ὅτι οὗτοι μὲν τῇ ὑπαγορευθείσῃ πίστει ὑπεσημήναντο, τῇ δὲ καθαιρέσει ἀρείου σύμψηφοι γενέσθαι οὐκ ἐβουλήθησαν. καὶ ὅτι ἄρειος πρὸ τούτων φαίνεται ἀνακληθείς. ἀλλ' εἰ καὶ τοῦτο οὕτως ἔχειν δοκεῖ, ὅμως τῆς ἀλεξανδρείας D ἐπιβαίνειν κεκώλυτο· τοῦτο δὲ δείκνυται, ἀφ' ὧν ὕστερον ἑαυτῷ κάθοδον εἰς τὴν ἐκκλησίαν καὶ εἰς τὴν ἀλεξάνδρειαν ἐπενόησεν, ἐπιπλάστῳ μετανοίᾳ χρησάμενος, ὡς κατὰ χώραν ἐροῦμεν.

## Caput XV.

*Quomodo Alexandro post Synodum Nicænam mortuo, Athanasius creatus est Episcopus.*

PAulo post mortuo Alexandro Alexandriæ Episcopo, Athanasius ecclesiæ præficitur. Hunc cum admodum puer esset, sacrum quendam ludum unà cum pueris æqualibus lusisse Rufinus

## Κεφ. ιε'.

ὅτι μετὰ τὴν σύνοδον ἀλεξάνδρου τελευτήσαντος, ἀθανάσιος καθίσταται τῆς ἀλεξανδρέων πόλεως ἐπίσκοπος.

ΜΕτὰ ταῦτα δὲ εὐθέως ἀλεξάνδρου τοῦ ἐπισκόπου τῆς ἀλεξανδρείας τελευτήσαντος, προΐσταται τῆς ἐκκλησίας ἀθανάσιος. τοῦτόν φησιν ὁ ῥουφῖνος κομιδῇ νήπιον ὄντα, παίζειν σὺν ἑτέροις ἡλικιώταις ἱερὸν παίγνιον.

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN